κγ΄ Ἐὰν ᾖ τρία μεγέθη καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος σύνδυο λαμβα-
νόμενα ἐν τῷ αὐτῷ λόγῳ· ᾖ δὲ τεταραγμένη αὐτῶν ἡ
ἀναλογία· καὶ δι' ἴσου ἐν τῷ αὐτῷ λόγῳ ἔσονται· ἔστω τρί-
α μεγέθη τὰ α β γ· καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος σύνδυ-
ο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ τὰ δ ε ζ· ἔστω δὲ τετα-
ραγμένη αὐτῶν ἡ ἀναλογία· ὡς μὲν τὸ α πρὸς τὸ β· οὕτως
τὸ ε πρὸς τὸ ζ· ὡς δὲ τὸ β πρὸς τὸ γ· οὕτως τὸ δ πρὸς τὸ ε·
λέγω ὅτι ἐστὶν ὡς τὸ α πρὸς τὸ γ· οὕτως τὸ δ πρὸς τὸ ζ· εἰλή-
φθω τῶν μὲν α β δ ἰσάκις πολλαπλάσια τὰ η θ κ· τῶν
δὲ γ ε ζ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια τὰ λ μ ν·
καὶ ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσια τὰ η θ τῶν α β· τὰ δὲ
μέρη τοῖς ὡσαύτως πολλαπλασίοις τὸν αὐτὸν ἔχει λό-
γον· ἔστιν ἄρα ὡς τὸ α πρὸς τὸ β· οὕτως τὸ η πρὸς τὸ θ· διὰ   (margin: διὰ τὸ ιε΄ τοῦ ε΄)
τὰ αὐτὰ δὴ καὶ ὡς τὸ ε πρὸς τὸ ζ καὶ τὸ μ πρὸς τὸ ν· καὶ ἐστὶν
ὡς τὸ α πρὸς τὸ β τὸ ε πρὸς τὸ ζ· καὶ ὡς ἄρα τὸ η πρὸς τὸ θ· τὸ   (margin: διὰ τὸ ια΄ τοῦ ε΄)
μ πρὸς τὸ ν· καὶ ἐπεὶ ἐστὶν ὡς τὸ β πρὸς τὸ γ· τὸ δ πρὸς τὸ ε·
καὶ εἴληπται τῶν μὲν β δ ἰσάκις πολλαπλάσια τὰ θ κ·
τῶν δὲ γ ε ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια τὰ λ μ·
ἔστιν ἄρα ὡς τὸ θ πρὸς τὸ λ· οὕτως τὸ κ πρὸς τὸ μ· καὶ ἐναλ-   (margin: ... ις΄ τοῦ ε΄)
λὰξ ὡς τὸ β πρὸς τὸ δ· τὸ γ πρὸς τὸ ε· καὶ ἐπεὶ τὰ θ κ τῶν β δ
ἰσάκις ἐστὶ πολλαπλάσια· τὰ δὲ μέρη τοῖς ἰσάκις πολ-
λαπλασίοις τὸν αὐτὸν ἔχει λόγον· ἔστιν ἄρα ὡς τὸ β πρὸς   (margin: διὰ τὸ λ΄ τοῦ ε΄)
τὸ δ· οὕτως τὸ θ πρὸς τὸ κ· ἀλλ' ὡς τὸ β πρὸς τὸ δ· τὸ γ
πρὸς τὸ ε· καὶ ὡς ἄρα τὸ θ πρὸς τὸ κ· τὸ γ πρὸς τὸ ε· πά-
λιν ἐπεὶ τὰ λ μ τῶν γ ε ἰσάκις ἐστὶ πολλαπλάσια· ἔστιν
ἄρα ὡς τὸ γ πρὸς τὸ ε· οὕτως τὸ λ πρὸς τὸ μ· ἀλλ' ὡς τὸ γ

πρὸς τὸ ε· οὕτως τὸ θ πρὸς τὸ κ· καὶ ὡς ἄρα τὸ θ πρὸς τὸ κ·
τὸ λ πρὸς τὸ μ· καὶ ἐναλλὰξ ὡς τὸ θ πρὸς τὸ λ· τὸ κ πρὸς
τὸ μ· ἐδείχθη δὲ καὶ ὡς τὸ η πρὸς τὸ θ· τὸ μ πρὸς τὸ ν·
ἐπεὶ οὖν τρία μεγέθη ἐστὶν ἀνάλογον τὰ η θ λ· καὶ ἄλλα
αὐτοῖς ἴσα τὸ πλῆθος τὰ κ μ ν σύνδυο λαμβανόμε-
να ἐν τῷ αὐτῷ λόγῳ καὶ ἐστὶν αὐτῶν τεταραγμένη ἡ   (margin: διὰ τὸ κα΄ τοῦ ε΄)
ἀναλογία· δι' ἴσου ἄρα εἰ ὑπερέχει τὸ η τοῦ λ· ὑπερ-
έχει τὸ κ τοῦ ν· καὶ εἰ ἴσον ἴσον· καὶ εἰ ἔλαττον ἔλαττον·
καὶ ἐστι τὰ μὲν η κ τῶν α δ ἰσάκις πολ-
λαπλάσια· τὰ δὲ λ ν τῶν γ ζ ἰσάκις
πολλαπλάσια· ἔστιν ἄρα ὡς τὸ α πρὸς   (margin: διὰ τὸ ορ΄)
τὸ γ· οὕτως τὸ δ πρὸς τὸ ζ· ἐὰν ἄρα
ᾖ τρία μεγέθη καὶ ἄλλα αὐτοῖς ἴσα τὸ
πλῆθος σύνδυο λαμβανόμενα ἐν τῷ
αὐτῷ λόγῳ· ᾖ δὲ τεταραγμένη αὐτῶν
ἡ ἀναλογία· καὶ δι' ἴσου ἐν τῷ αὐτῷ λό-
γῳ ἔσται· ὅπερ ἔδει δεῖξαι:

κδ΄ Ἐὰν πρῶτον πρὸς δεύτερον τὸν αὐτὸν ἔχῃ λόγον· καὶ
τρίτον πρὸς τέταρτον· ἔχῃ δὲ καὶ πέμπτον πρὸς δεύ-
τερον τὸν αὐτὸν λόγον· καὶ ἕκτον πρὸς τέταρτον· καὶ
συντεθὲν πρῶτον καὶ πέμπτον πρὸς δεύτερον τὸν αὐ-
τὸν ἕξει λόγον καὶ τρίτον καὶ ἕκτον πρὸς τέταρτον·
πρῶτον γὰρ τὸ αβ πρὸς δεύτερον τὸ γ τὸν αὐτὸν ἐ-
χέτω λόγον· καὶ τρίτον τὸ δε πρὸς τέταρτον τὸ ζ· ἐχέ-
τω δὲ καὶ πέμπτον τὸ βη πρὸς δεύτερον τὸ γ τὸν αὐτὸν
λόγον· καὶ ἕκτον τὸ εθ πρὸς τέταρτον τὸ ζ· λέγω ὅτι